www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΑΝΑΡΓΥΡΟΝ ΙΑΤΡΟΝ & ΙΕΡΟΜΑΡΤΥΡΑ ΕΡΜΟΛΑΟΝ

Συντεθεὶς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2004 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΝΑΡΓΥΡΟΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΙΑΤΡΟΝ ΕΡΜΟΛΑΟΝ

* * *

*Μετὰ τὸ Εὐλογητός, ἀναγινώσκομεν τὸν ψαλμὸν ΡΚΒ΄ (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετα τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Εὐθὺς δέ, Θεὸς Κύριος...καὶ τὸ τροπάριον*

*Ἦχος δ'. Ὁ ὑψωθείς.*

Ὡς ἰατρὸς ψυχῶν ὁμοῦ καὶ σωμάτων,
καὶ ἐργαστήριον τῆς θείας ἀγάπης,
ἀπάλλαξον, δεόμεθα, ἡμᾶς ἀσθενειῶν·
πᾶσι γὰρ ἀνάργυρον,
μεταδίδως τὴν χάριν,
ὡς Χριστοῦ ὁμότροπος,
Ἰατροῦ τοῦ μεγάλου,
Ὃν ἐξιλέωσαι εὐχητικῶς,
ὑπὲρ τιμώντων,
σὴν μνήμην Ἑρμόλαε.

*Δόξα, Καὶ νῦν, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων,
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' ψαλμός·*

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*“Νόσους πιστῶν ἴασαι, Ἑρμόλαε ἀκέστορ. Ἀ(θανάσιος)”.*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Νοσοῦσαν τὴν φύσιν ἡμῶν δεινῶς,
Χριστὸς φιλανθρώπως,
ἐξιάσατο σαρκωθείς,
ἐξ Οὗ εἰληφὼς καὶ σὺ τὴν χάριν,
τοὺς ἀσθενεῖς ἐξιᾶσαι Ἑρμόλαε.

Ὁδὸν τῆς ἀγάπης βεβαδικώς,
καὶ ταύτῃ συμμίξας,
ἐπιστήμην ἰατρικῆς,
ὑπάρχεις Ἑρμόλαε θεόφρον,
τῶν ἀσθενούντων γλυκὺ καταφύγιον.

Σαρκὸς ἀσθενούσης καὶ ἡ ψυχή,
ὁμοίως συμπάσχει,
διὸ χρεία ἰατρικῆς,
ἣν δίδου τοῖς πίστει αἰτουμένοις,
ὡς ἰατρὸς ἀναργύρως Ἑρμόλαε.

*Θεοτοκίον*

Ὁ Κτίστης τῶν πάντων ὁμοιωθείς,
ἡμῖν τοῖς ἀνθρώποις,
δι᾽ ἀγάπης ὑπερβολήν,
ἐγένου τὸ πρότυπον Παρθένε,
φιλανθρωπίας τοῖς Τοῦτον πιστεύουσι.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑπὲρ πάντα προκρίνας,
τὸν Ἰησοῦν Ἅγιε,
καὶ Αὐτοῦ ἀγάπην τελείαν ἐκμιμησάμενος,
χάριν ἀπείληφας,
θαυματουργῶς ἐξιᾶσθαι,
ἀσθενῶν Ἑρμόλαε,
πάθη δυσίατα.

Στήλη ἔμψυχος ὤφθης,
τῆς τοῦ Χριστοῦ πίστεως,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ ἱερωσύνης χιτῶνα ἐπενδυσάμενος,
σοφῶς συνέμιξας,
ἰατρικὴν τῇ ἀγάπῃ,
ἅς περ τοῖς αἰτοῦσί σε,
δίδου Ἑρμόλαε.

Πίστιν ἔχων τελείαν,
θαυματουργὸς πέφηνας,
καὶ τῇ τοῦ Χριστοῦ ἐπικλήσει,
νόσους ἐδίωκες,
ὅθεν Ἑρμόλαε,
τοὺς τῷ ἁγίῳ ναῷ σου,
πίστει καταφεύγουσι,
χάρισαι ἴασιν.

*Θεοτοκίον*

Ἰατρὸν πρῶτον Κόρη,
τὸν Ἰησοῦν τέξασα,
τοῦτον ἐκδυσώπει ἀπαύστως,
ὑπὲρ τῶν ὅσοι σου,
ἰάσεις δέονται,
παθῶν ποικίλων Παρθένε,
ὅπως μεγαλύνωσι,
φιλανθρωπίαν σου.

Διάσωσον,
τοὺς ἐν τῷ θείῳ τούτῳ ναῷ σου,
εἰλικρινῶς προσπίπτοντας Ἅγιε,
Ἑρμόλαε καὶ δὸς αὐτοῖς,
ἀσθενείας τὴν λύσιν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Βαρὺς ὁ σταυρός,
τῆς ἀσθενείας πέφυκε,
διὸ σῷ ναῷ,
προστρέχομεν Ἑρμόλαε,
ἐξαιτοῦντες δύναμιν,
ταῖς θερμαῖς σου πρὸς Χριστὸν δεήσεσι·
σὺ γὰρ ἀνάργυρον ἀεί,
δίδως τὴν χάριν θείου Πνεύματος.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Σῶμα πάσχον μου ἴασαι,
θεραπευτικῇ σου ἁφῇ Ἑρμόλαε,
ὅπως χαίρων σοι εὐγνώμονα,
τὴν εὐχαριστίαν φέρω Ἅγιε.

Τοὺς καρκίνους κατάργησαι,
καὶ ὀρθῶς βαδίζειν δεῖξον Ἑρμόλαε,
δραστικῇ ἐπιστασίᾳ σου,
τὴν χαρὰν εἰσάγων τῆς ἰάσεως.

Ὡς ποιμὴν γνησιώτατος,
τοῦ Καλοῦ Ποιμένος πάτερ Ἑρμόλαε,
τοὺς προστρέχοντας τῷ οἴκῳ σου,
ἐν πνευματικῇ τροφῇ διάθρεψον.

*Θεοτοκίον*

Νόσον, Μῆτερ, παγκόσμιον,
τὴν τῇ παραβάσει Ἀδὰμ κατήργησεν,
ὁ Υἱός σου ἐνδυσάμενος,
σάρκα ἀνθρωπίνην ἀναμάρτητον.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

Ἴασιν ψυχαῖς,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ταῖς πασχούσαις ἐκ τοῦ δαίμονος,
Ἱερομάρτυς πάρεχε πρεσβείαις σου,
καὶ τὴν εἰρήνην,
τοῦ Χριστοῦ αὐταῖς ἐμφύτευε.

Ἄλγη πονηρά,
ὦ Ἑρμόλαε ἰάτρευε,
τὰ ἐνοχλοῦντα τοὺς προστρέχοντας πιστῶς,
ἐν τῷ ναῷ σου,
ὡς πλουτῶν χάριν ἰάσεως.

Στῆσον ἀχθηρά,
ἀσθενήματα Ἑρμόλαε,
τὰ ἐνοχλοῦντα τοὺς πιστοὺς πολυετῶς,
καὶ ἐν ταῖς νόσοις,
καρτερίαν δὸς ἐφόδιον.

*Θεοτοκίον*

Ἅπασα πνοή,
σὲ δοξάζει Παναμώμητε,
ὡς λυτρωθεῖσα τῶν δεινῶν τοῦ πονηροῦ,
διὰ τοῦ τόκου,
τοῦ ἀσπίλου καὶ ἀμώμου σου.

*Ὠιδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.*

Ἱέρευσας,
τῷ Χριστῷ ὡς ἄγγελος,
καὶ ἐν τέλει σεαυτὸν ἐδεδώκεις,
θῦμα σεπτόν,
διὰ τοῦ μαρτυρίου,
διὸ δικαίως τὴν χάριν ἀπείληφας,
ἰᾶσθαι νόσους ἀσθενῶν,
ἀναργύρως παμμάκαρ Ἑρμόλαε.

Ἐφείλκυσας,
τοῖς σοφοῖς σου ῥήμασι,

Παντολέοντα εἰς πίστιν Κυρίου,
καὶ μαθητήν,
ὑπεράξιον δείξας,
αὐτὸν πλουτεῖς νῦν εὐχαῖς συνευχέτην σου,
ἑλκύοντες ἐξ οὐρανοῦ,
ἰαμάτων τοὺς ὄμβρους Ἑρμόλαε.

Ῥυπάσματα,
ἐκ ψυχῶν ἀπόβαλε,
ὦ Ἑρμόλαε εὐχαῖς σου ἁγίαις,
καὶ τοῦ Χριστοῦ,
οἴκους δεῖξον τοὺς ὅσοι,
ἐν ταπεινώσει αἰτοῦνται τὴν χάριν σου,
ἀσφάλισαι δὲ ἐφεξῆς,
ἐπηρείας αὐτοὺς τοῦ ἀλάστορος.

*Θεοτοκίον*

Μεγάλη σου,
τῶν εὐχῶν ἡ δύναμις,
ὡς εἰκὸς πρὸς τὸν Χριστὸν Θεοτόκε,
ὅτι Αὐτῷ,
τὴν ἀμώμητον σάρκα,
εἰς κατοικίαν ἁγίαν ἐδάνεισας,
καὶ γέγονας πηγὴ ζωῆς,
χριστωνύμοις τιμῶσί σε Πάναγνε.

Διάσωσον,
τοὺς ἐν τῷ θείῳ τούτῳ ναῷ σου,
εἰλικρινῶς προσπίπτοντας Ἅγιε,
Ἑρμόλαε καὶ δὸς αὐτοῖς,
ἀσθενείας τὴν λύσιν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.*

Ὡς πιστὸς ἱερεὺς θείας Χάριτος,
καὶ σοφὸς ἰατρὸς ἀσθενούντων Ἑρμόλαε,
δέξαι μάρτυς,
τὰς τῶν πιστῶν δεήσεων φωνάς,
διδοὺς πᾶσι δαψιλῶς,
τῶν νοσημάτων τῆς ψυχῆς,
καὶ τοῦ σώματος ἴασιν·
ὅπως πανευγνωμόνως,
μνήμην σου τὴν ἁγίαν,
ἐπιτελῶμεν καὶ Θεόν,
σὲ δοξάσαντα δοξάζωμεν.

Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχος· *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

**ΕΥΑΓΓΕΛΙΟΝ**
*Ἐκ τοῦ κατὰ Ματθαῖον*

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε. Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

*Δόξα.*

Ταῖς τοῦ Ἀναργύρου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον.*

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Ἅγιε ἀνάργυρε καὶ ἀθλητὰ θεοφόρε,
ἱερὲ Ἑρμόλαε,
ὡς πλουτῶν τὸ χάρισμα τῆς ἰάσεως,
τὰς φωνὰς πρόσδεξαι,
καὶ τὰς ἱκεσίαις,
τῶν πιστῶς ἐξαιτουμένων σου,
τὴν συναντίληψιν καὶ ἀσθενειῶν τὴν ἀνάῤῥωσιν·
ὅθεν τῇ φιλανθρώπῳ σου,
πρόφθασον ἀγάπῃ καὶ ἔκχεε,
τὰς εὐεργεσίας,
τοῖς πάσχουσι τὸ σῶμα καὶ ψυχήν,
καὶ τὴν ὑγίειαν ἀσάλευτον,
δίδου ταῖς πρεσβείαις σου.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οἱ βαρούμενοι νόσοις,
τῷ ναῷ σου Ἑρμόλαε προσερχόμεθα,
λαβεῖν εὐεργεσίαν,
ἐλπίζοντες εὐχῶν σου,
ὀξυτάτην ἐνέργειαν,
καὶ ἀπὸ κλίνης πικρᾶς,
εὐθὺς ἐξαναστῆναι.

Λυπαχθεῖς λῦσον μάρτυς,
ψυχικὰς ἀσθενείας ταῖς ἱκεσίαις σου,

καὶ τὴν χαρὰν ὡς δῶρον,
Ἑρμόλαε παράσχου,
τοῖς πικρῶς ὑποφέρουσιν,
ὅπως τιμῶμεν πιστῶς,
τὴν ἱεράν σου μνήμην.

Ἀγωγὴ πρὸς τὴν γνῶσιν,
τοῦ Κυρίου αἱ νόσοι πάτερ ὑπάρχουσι·
διὸ τοῖς ἐπὶ κλίναις
Ἑρμόλαε παράσχου,
καρτερίαν εὐχάριστον,
ἵνα καρπὸν τῇ ψυχῇ,
ἐξ ἀσθενείας σχῶμεν.

*Θεοτοκίον*

Εὐεργέτις ὑπάρχεις,
τῶν ἀνθρώπων τῷ γένει, Θεομακάριστε,
τεκοῦσα γὰρ ἀφθόρως,
τὸν Κτίστην τῶν ἁπάντων,
Ἰησοῦν τὸν Φιλάνθρωπον,
δέχῃ τὸν ὕμνον ἀεί,
ἀνθ᾽ ὧν ἡμῖν δεδώκεις.

*Ὠιδὴ η΄. Τὸν Βασιλέα.*

Ἁμαρτανόντων,
τὴν φορὰν στῆσον πάτερ,
τὴν γεννήτριαν ἀσθενειῶν ποικίλων,
μῖσος κατὰ ταύτης,
Ἑρμόλαε ἐμβάλλων.

Κεφαλαλγίας,
ἐπαχθοῦς λύτρωσαί με,
ἱεραῖς σου Ἑρμόλαε πρεσβείαις,
ἵνα μεγαλύνω,
τὸ θεῖον ὄνομά σου.

Ἐξηρτημένους,
ἐξ οὐσιῶν καὶ αἰτοῦντας,
ἰατρείαν Ἑρμόλαε τοῦ πάθους,
πρόφθασον καὶ ῥῦσαι,
ὡς τοῦ Χριστοῦ ἀκέστωρ.

*Θεοτοκίον*

Σώτειρα κόσμου,
ἐν τῇ ἁγίᾳ παλάμῃ,
τὰς δεήσεις προσδέχου ἀσθενούντων,
καὶ αὐτὰς Κυρίῳ,
προσάγαγε πρὸς λύσιν.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Τὸν βίον σου τελέσας,
ἐν εὐεργεσίαις,
τῷ μαρτυρίῳ καλῶς ἐπεσφράγισας,
διὸ καὶ πλείονα δίδως,
χάριν Ἑρμόλαε.

Ὁ οἶκός σου ὑπάρχει,
κολυμβήθρα ἄλλη,
τοῦ Σιλωὰμ τὰς ἰάσεις παρέχουσα,
ταῖς ἱεραῖς σου πρεσβείαις,
πάτερ Ἑρμόλαε.

Ῥῦσαι πάσης ἀνάγκης,
τοὺς ἐν ἀσθενείαις,
κατακειμένους Ἑρμόλαε ἅγιε,
ἑνὶ ἑκάστῳ παρέχων,
ψυχῆς ὠφέλιμα.

*Θεοτοκίον*

Ἄχραντε Θεοτόκε,
σὺν τῷ Ἑρμολάῳ,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


τὸν Ἰατρὸν Ἰησοῦν ἱλεώσατε,
ὅπως πλουσίως παρέχη,
ἡμῖν τὸ ἔλεος.

*Ἄξιόν ἐστι... καὶ τὰ*

*Μεγαλυνάρια*

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί,
ἀνάργυρον θεῖον,
καὶ φιλάνθρωπον ἰατρόν,
βρύσιν τῆς ἀγάπης,
καὶ νόσων καταλύτην,
Ἑρμόλαον Κυρίου, ἱερομάρτυρα.

Τοὺς ἐν τῷ ναῷ σου πανευλαβῶς,
προστρέχοντας ῥῦσαι,
ἐκ παντοίων ἀσθενειῶν,
σώματος ψυχῆς τε,
Ἑρμόλαε παμμάκαρ,
πρεσβείαις σου πανάγνοις,
πρὸς τὸν Φιλάνθρωπον.

Κάμνοντες ἐκ νόσων παντοδαπῶν,
καὶ ἀπεγνωσμένοι,
ἐξ ἀνθρώπων πρὸς σὲ πιστῶς,
τρέχομεν αἰτοῦντες,
Ἑρμόλαε τὴν λύσιν,
ἣν πάρεχε ταχέως,
ψυχῆς πρὸς ὄφελος.

Σὺν Παντελεήμονι ἰατρῷ,
κλεινῷ ὁμοτέχνῳ,
καὶ υἱῷ σου πνευματικῷ
Ἑρμόλαε πάτερ,
πρεσβεύσατε Κυρίῳ,
ὑπὲρ τῶν αἰτουμένων,
ὑμᾶς ἐκ πίστεως.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
᾿Αποστόλων ἡ δωδεκάς,
οἱ ῞Αγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.
*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Χάριν εἰληφὼς παρὰ Θεοῦ,
ἰατρεύειν νόσους ποικίλας,
πάτερ ῾Ερμόλαε,
δέξαι προστρεχόντων σοι,
φωνὰς καὶ δάκρυα,
καὶ ὡς θεῖος ἀνάργυρος,
ἀντὶ τῶν φαρμάκων,
χρῶ ταῖς πρὸς τὸν Κύριον,
εὐχαῖς ἁγίαις σου,
καὶ τὴν ποθουμένην ὑγείαν,
δὸς ἡμῖν πολύτιμον δῶρον,
ἵνα σου τὴν μνήμην ἑορτάζωμεν.
Δέσποινα, πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

www.tezaurliturgic.ro



*Στίχοι*

Ἕρμα ὑπάρχων πιστῶν ἐν ἀσθενείαις,
Ἑρμόλαε, πρόφθασον τῶν σὲ αἰτούντων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ